& quæ fecerit, exprobrare. Nam puſillanimitatis omnia, & humilitatis ſigna. Et de ſe dicere, & polliceri, & aliena ſua affirmare: nam arrogantia eſt. Similiter verò etiam in aliorum vnoquoque, quæ in moribus ſunt, vitiorum opera, & ſigna, & ſimilia: nam turpia, & pudenda ſunt. Et ad hæc rerum honeſtarum, quarum omnes participes ſunt, aut ſimiles omnes, aut plurimi, non eſſe participem. Similes autem dico eiuſdem nationis, ciuitatis, ætatis, cognationis, omnino æquales. Turpe enim iam eſt, non eſſe participem, vt eruditionis quadamtenus, & aliarum rerum ſimiliter. Omnia verò hæc magis, ſi propter ipſum appareant accidiſſe: ſic enim ſunt à vitio magis, ſi ipſe ſit cauſſa eorum, quæ affuerunt, aut adſint, aut futura ſunt. Patientes autem, aut paſſos, aut paſſuros talia pudet eorum, quæ ad offenſionem exiſtimationis pertinent, & probra. hæc autem ſunt, quæcunque ad miniſteria aut corporis, aut operum turpium, ex quibus eſt contumeliæ perpeſſio. Et quæ ad intemperantiam tum voluntaria, tum non voluntaria. Quæ verò ad vim, non voluntaria: nam ab ignauia, aut timiditate tolerantia eſt, & non vlciſci. Quorum igitur pudet, hæc ſunt, & talia. Quoniam verò de offenſione exiſtimationis pudor eſt phantaſia, & huius ipſius gratia, ſed non eorum quæ inde eueniunt, ac nemo exiſtimationis curam habet niſi propter eos, qui exiſtimant: neceſſe eſt, pudere eorum, quorum rationem habet. Rationem verò habet eorum, qui ſuſpiciunt, & quos ſuſpicit, & à quibus vult ſuſpici, & quibuſcum de honore contendit, & quorum non contemnit exiſtimationem. Ac ſuſpici quidem volunt ab iis, & ſuſpiciunt eos, qui habent aliquod bonum ex iis, quæ precioſa ſunt, aut à quibus requirunt valde aliquid ex iis quorum illi ſunt domini: vt amatores. De honore autem contendunt cũ iis qui ſimiles ſunt. Et curant, vt eos qui vera loquuntur, prudentes. Taleſque ſunt tum ſenes, tum eruditi. Et eorum, quæ ſunt in oculo, & quæ in aperto. vnde etiam prouerbium, In oculis eſſe verecundiam. & ob id eorum qui ſemper affuturi ſunt, magis pudet: & eorum, qui attendunt ipſos, propterea quòd in oculis ambo ſunt. Et eorũ qui non ſunt iiſdẽ obnoxij: manifeſtum.n.eſt cõtraria his videri. Et qui nõ ignoſcũt iis qui apparent peccare: quæ.n.aliquis ipſe facit, ea dicitur in proximis nõ ſtomachari. Quare ſi non faciat, manifeſtum eſt, eum ſtomachari. Et qui enunciant multis:

A καὶ ἃ δὲ ἐποίησεν ὀνειδίζειν· μικροψυχίας γὰρ πάντα καὶ ταπεινότητος σημεῖα. καὶ τὸ περὶ αὑτοῦ λέγειν, καὶ ἐπαγγέλλεσθαι. καὶ τὸ τὰ ἀλλότρια, αὑτοῦ φάσκειν· ἀλαζονείας γάρ. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων ἑκάστης τῶν τοῦ ἤθους κακιῶν τὰ ἔργα, καὶ τὰ σημεῖα, καὶ τὰ ὅμοια· αἰσχρὰ γὰρ καὶ αἰσχυντηλά. καὶ ἐπὶ τούτοις τὸ τῶν καλῶν ὧν πάντες μετέχουσιν, ἢ οἱ ὅμοιοι πάντες, ἢ οἱ πλεῖστοι, μὴ μετέχειν. ὁ-
B μοίους δὲ λέγω ὁμοεθνεῖς, πολίτας, ἥλικας, συγγενεῖς· ὅλως, τοὺς ἐξ ἴσου· αἰσχρὸν γὰρ ἤδη τὸ μὴ μετέχειν· οἷον, παιδεύσεως ἐπὶ τοσοῦτον, καὶ τῶν ἄλλων ὁμοίως. πάντα δὲ ταῦτα μᾶλλον, ἂν δι' ἑαυτὸν φαίνηται· οὕτω γὰρ ἤδη ἀπὸ κακίας μᾶλλον, ἂν αὐτὸς ᾖ αἴτιος τῶν ὑπαρξάντων, ἢ ὑπαρχόντων, ἢ μελλόντων. πάσχοντες δὲ, ἢ πεπονθότες, ἢ
C πεισόμενοι, τὰ τοιαῦτα αἰσχύνονται, ὅσα εἰς ἀτιμίαν φέρει καὶ ὀνείδη· ταῦτα δ' ἐστὶν, ὅσα εἰς ὑπηρετήσεις ἢ σώματος ἢ ἔργων αἰσχρῶν, ὧν ἐστι τὸ ὑβρίζεσθαι. καὶ τὰ μὲν, εἰς ἀκολασίαν, καὶ ἑκόντα καὶ ἄκοντα· τὰ δὲ, εἰς βίαν, ἄκοντα· ἀπὸ ἀνανδρίας γὰρ, ἢ δειλίας, ἡ ὑπομονὴ, καὶ τὸ μὴ ἀμύνεσθαι. ἃ μὲν οὖν αἰσχύνονται, ταῦτά ἐστι, καὶ τὰ τοιαῦτα. ἐπεὶ δὲ περὶ ἀδοξίας φαντασία ἐστὶν ἡ αἰσχύνη, καὶ
D ταύτης αὐτῆς χάριν, ἀλλὰ μὴ τῶν ἀποβαινόντων· οὐδεὶς δὲ τῆς δόξης φροντίζει, ἀλλ' ἢ διὰ τοὺς δοξάζοντας, ἀνάγκη τούτους αἰσχύνεσθαι, ὧν λόγον ἔχει· λόγον δὲ ἔχει τῶν θαυμαζόντων, καὶ οὓς θαυμάζει, καὶ ὑφ' ὧν βούλεται θαυμάζεσθαι, καὶ πρὸς οὓς φιλοτιμεῖται, καὶ ὧν μὴ καταφρονεῖ τῆς δόξης. θαυμάζεσθαι μὲν οὖν βούλονται ὑπὸ τούτων, καὶ
E θαυμάζουσι τούτους, οἳ ἔχουσί τι ἀγαθὸν τῶν τιμίων. ἢ παρ' ὧν τυγχάνουσι δεόμενοι σφόδρα τινὸς, ὧν ἐκεῖνοι κύριοι· οἷον οἱ ἐρῶντες. φιλοτιμοῦνται δὲ πρὸς τοὺς ὁμοίους· φροντίζουσι δὲ, ὡς ἀληθευόντων τῶν φρονίμων· τοιοῦτοι δὲ οἵ τε πρεσβύτεροι καὶ οἱ πεπαιδευμένοι. καὶ τὰ ἐν ὀφθαλμοῖς, καὶ τὰ ἐν φανερῷ. ὅθεν καὶ ἡ παροιμία, τὸ ἐν ὀφθαλμοῖς εἶναι αἰδῶ. διὰ τοῦτο τοὺς ἀεὶ παρεσομένους μᾶλ-
F λον αἰσχύνονται, καὶ τοὺς προσέχοντας αὐτοῖς, διὰ τὸ ἐν ὀφθαλμοῖς ἀμφότερα. καὶ τοὺς μὴ περὶ ταὐτὰ ἐνόχους· δῆλον γὰρ ὅτι τἀναντία δοκεῖ τούτοις. καὶ τοὺς μὴ συγγνωμονικοὺς τοῖς φαινομένοις ἁμαρτάνειν·

ἃ γάρ τις